ἐξῆψε πῦρ τε καὶ νόσημ᾽ ὦξυν᾽ ἄγαν,
ἀντ᾽ ὠφελείας πημονὴν μείζω φέρων.
τοῦτ᾽ αὐτὸ καὶ κένωσις ἥδ᾽ αὐτῆς σθένει
ληφθεῖσα φειδοῖ καί γ᾽ ἅπαξ ἢ μετρίως
δράσει, νέμουσα πλεῖον εὐρυχωρίας
ξύμπασιν ἀγγείοισιν· ὡς τῇ σφῶν τάδε
διαστολῇ μὲν συστολῇ τ᾽ ἠπειγμένῃ,
ἐξ εὐρυχωρίας δὲ τῆσδ᾽ ὡρμημένῃ,
ὠθεῖν ῥοώδη πάντα πολλῷ ξὺν τάχει,
κἀνθένδ᾽ ἐγείρειν πῦρ ἐπιφλεγὲς πλέον,
ἅσσ᾽ ἐμπεδοῖ που πεῖρα τ᾽ ἀκριβεστάτη.

Ζ. Οὐδ᾽ ἄν τις ἠλλοίωσε τὴν δυσκρασίαν
τοιῶνδε χυμῶν λυμεώνων τῷδ᾽ ἄκει.
τίς οἶδεν ὧδε χυμὸν ἀλλοιοῦν ποτε;
ἥδ᾽ ἡ κένωσις τοῦδ᾽ ἀφαιρεῖ γὰρ μέρος,
οὐ μὴν δ᾽ ἀμείβει τοῦδε ποιότηθ᾽ ὅλην
κρᾶσιν μεταλλάττουσα τὴν προὐφθαρμένην.

Η. Οὐδ᾽ ὡς περιττεῦόν τι χυμῶν τῶνδ᾽ ἄγων
ὤνησε τὸν κάμνοντα τῇδ᾽ ἀφαιρέσει.
οὐ τῷ ποσῷ γάρ, τῷ δὲ ποιῷ τῶνδ᾽ ὅλως
χυμῶν βέβηκεν ἡ νόσων τῶνδ᾽ αἰτία.
οὔκουν ἀφαιρῶν τοῦ ποσοῦ μέρος γέ τι,
τοσόνδ᾽ ἀφεῖλε τοῦ τε ποιοῦ, κοὐχ᾽ ἅπαν·
ἐπεὶ ποσὸν δὲ πᾶν κενοῦν οὐκ ἔσθ᾽ ὅπως,
ἆρ᾽ οὐδὲ ποιὸν πᾶν κενώσει τῷδ᾽ ἄκει,
καὶ δὴ καταχρήσαιτο τῷδ᾽ ἂν ἐς μάτην.

Εἰ-